www.xtrapapers.com



Diploma Programme
Programme du diplôme
Programa del Diploma

# Classical Greek
# Higher level
# Paper 2

Wednesday 13 May 2015 (morning)

2 hours

---

**Instructions to candidates**

- Do not open this examination paper until instructed to do so.
- Answer four questions from two genres only.
- The maximum mark for this examination paper is **[44 marks]**.



2215 – 2952
© International Baccalaureate Organization 2015

International Baccalaureate
Baccalauréat International
Bachillerato Internacional

www.xtrapapers.com



Answer **four** questions from **two** genres **only**. These questions should be taken from the **two** genres you have studied.

**Genre: epic**

**Question 1. Homer, *Odyssey* 9.67–86**

νηυσὶ δ᾽ ἐπῶρσ᾽ ἄνεμον Βορέην νεφεληγερέτα Ζεὺς
λαίλαπι θεσπεσίῃ, σὺν δὲ νεφέεσσι κάλυψε
γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ᾽ οὐρανόθεν νύξ.
αἱ μὲν ἔπειτ᾽ ἐφέροντ᾽ ἐπικάρσιαι, ἱστία δέ σφιν
τριχθά τε καὶ τετραχθὰ διέσχισεν ἲς ἀνέμοιο.
καὶ τὰ μὲν ἐς νῆας κάθεμεν, δείσαντες ὄλεθρον,
αὐτὰς δ᾽ ἐσσυμένως προερέσσαμεν ἤπειρόνδε.
ἔνθα δύω νύκτας δύο τ᾽ ἤματα συνεχὲς αἰεὶ
κείμεθ᾽, ὁμοῦ καμάτῳ τε καὶ ἄλγεσι θυμὸν ἔδοντες.
ἀλλ᾽ ὅτε δὴ τρίτον ἦμαρ ἐυπλόκαμος τέλεσ᾽ Ἠώς,
ἱστοὺς στησάμενοι ἀνά θ᾽ ἱστία λεύκ᾽ ἐρύσαντες
ἥμεθα, τὰς δ᾽ ἄνεμός τε κυβερνῆταί τ᾽ ἴθυνον.
καί νύ κεν ἀσκηθὴς ἱκόμην ἐς πατρίδα γαῖαν·
ἀλλά με κῦμα ῥόος τε περιγνάμπτοντα Μάλειαν
καὶ Βορέης ἀπέωσε, παρέπλαγξεν δὲ Κυθήρων.
ἔνθεν δ᾽ ἐννῆμαρ φερόμην ὀλοοῖς ἀνέμοισιν
πόντον ἐπ᾽ ἰχθυόεντα· ἀτὰρ δεκάτῃ ἐπέβημεν
γαίης Λωτοφάγων, οἵ τ᾽ ἄνθινον εἶδαρ ἔδουσιν.
ἔνθα δ᾽ ἐπ᾽ ἠπείρου βῆμεν καὶ ἀφυσσάμεθ᾽ ὕδωρ,
αἶψα δὲ δεῖπνον ἕλοντο θοῇς παρὰ νηυσὶν ἑταῖροι.

(a) Translate νηυσὶ … νύξ (lines 67–69). [3]

(b) Μάλειαν … Κυθήρων (lines 80–81). What are these **two** places? Locate them and explain why they are relevant for the *Odyssey*'s world. [3]

(c) Contrast **two** passages in which the wind is respectively favourable or adverse to Odysseus and his companions. Support your answer by quoting the Greek text. [2]

(d) Write out and scan ἔνθα … ἑταῖροι (lines 85–86). Indicate elisions where necessary. [2]

www.xtrapapers.com



**Genre: epic**

**Question 2. Homer, *Odyssey* 9.353–370**

ὣς ἐφάμην, ὁ δ᾽ ἔδεκτο καὶ ἔκπιεν· ἥσατο δ᾽ αἰνῶς
ἡδὺ ποτὸν πίνων καὶ μ᾽ ᾔτεε δεύτερον αὖτις·
"δός μοι ἔτι πρόφρων, καί μοι τεὸν οὔνομα εἰπὲ
αὐτίκα νῦν, ἵνα τοι δῶ ξείνιον, ᾧ κε σὺ χαίρῃς·
καὶ γὰρ Κυκλώπεσσι φέρει ζείδωρος ἄρουρα
οἶνον ἐριστάφυλον, καί σφιν Διὸς ὄμβρος ἀέξει·
ἀλλὰ τόδ᾽ ἀμβροσίης καὶ νέκταρός ἐστιν ἀπορρώξ."
ὣς φάτ᾽, ἀτάρ οἱ αὖτις ἐγὼ πόρον αἴθοπα οἶνον.
τρὶς μὲν ἔδωκα φέρων, τρὶς δ᾽ ἔκπιεν ἀφραδίῃσιν.
αὐτὰρ ἐπεὶ Κύκλωπα περὶ φρένας ἤλυθεν οἶνος,
καὶ τότε δή μιν ἔπεσσι προσηύδων μειλιχίοισι·
"Κύκλωψ, εἰρωτᾷς μ᾽ ὄνομα κλυτόν, αὐτὰρ ἐγώ τοι
ἐξερέω· σὺ δέ μοι δὸς ξείνιον, ὥς περ ὑπέστης.
Οὖτις ἐμοί γ᾽ ὄνομα· Οὖτιν δέ με κικλήσκουσι
μήτηρ ἠδὲ πατὴρ ἠδ᾽ ἄλλοι πάντες ἑταῖροι."
ὣς ἐφάμην, ὁ δέ μ᾽ αὐτίκ᾽ ἀμείβετο νηλέι θυμῷ·
"Οὖτιν ἐγὼ πύματον ἔδομαι μετὰ οἷς ἑτάροισιν,
τοὺς δ᾽ ἄλλους πρόσθεν· τὸ δέ τοι ξεινήϊον ἔσται."

(a) ἡδὺ ποτὸν (line 354). Give **two** details about this drink (also from outside this extract). [2]

(b) Explain the irony of the reference to Zeus made by Polyphemus (line 358). [2]

(c) Analyse the extract identifying its main themes and explaining how they support each other. Refer to both factual details and stylistic features. Support your answer by quoting the Greek text. [8]

www.xtrapapers.com



**Genre: historiography**

**Question 3. Herodotus, 7.39**

κάρτα τε ἐθυμώθη ὁ Ξέρξης καὶ ἀμείβετο τοῖσιδε· "ὦ κακὲ ἄνθρωπε, σὺ ἐτόλμησας, ἐμεῦ στρατευομένου αὐτοῦ ἐπὶ τὴν Ἑλλάδα καὶ ἄγοντος παῖδας ἐμοὺς καὶ ἀδελφεοὺς καὶ οἰκηίους καὶ φίλους, μνήσασθαι περὶ σέο παιδός, ἐὼν ἐμὸς δοῦλος, τὸν χρῆν πανοικίῃ αὐτῇ τῇ γυναικὶ συνέπεσθαι; εὖ νυν τόδ᾽ ἐξεπίστασο, ὡς ἐν τοῖσι ὠσὶ τῶν ἀνθρώπων οἰκέει ὁ θυμός, ὃς χρηστὰ μὲν ἀκούσας τέρψιος ἐμπιπλεῖ τὸ σῶμα, ὑπεναντία δὲ τούτοισι ἀκούσας ἀνοιδέει. ὅτε μέν νυν χρηστὰ ποιήσας ἕτερα τοιαῦτα ἐπηγγέλλεο, εὐεργεσίῃσι βασιλέα οὐ καυχήσεαι ὑπερβαλέσθαι· ἐπείτε δὲ ἐς τὸ ἀναιδέστερον ἐτράπευ, τὴν μὲν ἀξίην οὐ λάμψεαι, ἐλάσσω δὲ τῆς ἀξίης. σὲ μὲν γὰρ καὶ τοὺς τέσσερας τῶν παίδων ῥύεται τὰ ξείνια· τοῦ δὲ ἑνός, τοῦ περιέχεαι μάλιστα, τῇ ψυχῇ ζημιώσεαι." ὡς δὲ ταῦτα ὑπεκρίνατο, αὐτίκα ἐκέλευε τοῖσι προσετέτακτο ταῦτα πρήσσειν, τῶν Πυθίου παίδων ἐξευρόντας τὸν πρεσβύτατον μέσον διαταμεῖν, διαταμόντας δὲ τὰ ἡμίτομα διαθεῖναι τὸ μὲν ἐπὶ δεξιὰ τῆς ὁδοῦ τὸ δ᾽ ἐπ᾽ ἀριστερά, καὶ ταύτῃ διεξιέναι τὸν στρατόν.

(a) ἐμεῦ … φίλους (lines 1–3). Identify **two** figures of speech in this sentence. Support your answer by quoting the Greek text. [2]

(b) Describe the **two** physical actions of θυμός according to Xerxes's words. [2]

(c) σὲ μὲν γὰρ … τὰ ξείνια (line 7–8). How do these words relate to the relationship between Pythius and Xerxes? Give **three** details. [3]

(d) Translate αὐτίκα … ἀριστερά (lines 9–11). [3]

www.xtrapapers.com



**Genre: historiography**

**Question 4.　Herodotus, 7.46**

μαθὼν δέ μιν Ἀρτάβανος ὁ πάτρως, ὃς τὸ πρῶτον γνώμην ἀπεδέξατο ἐλευθέρως οὐ συμβουλεύων Ξέρξῃ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, οὗτος ὡνὴρ φρασθεὶς Ξέρξην δακρύσαντα εἴρετο τάδε· "ὦ βασιλεῦ, ὡς πολλὸν ἀλλήλων κεχωρισμένα ἐργάσαο νῦν τε καὶ ὀλίγῳ πρότερον· μακαρίσας γὰρ σεωυτὸν δακρύεις." ὁ δὲ εἶπε· "ἐσῆλθε γάρ με λογισάμενον κατοικτεῖραι ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος, εἰ τούτων γε ἐόντων τοσούτων οὐδεὶς ἐς ἑκατοστὸν ἔτος περιέσται." ὁ δὲ ἀμείβετο λέγων· "ἕτερα τούτου παρὰ τὴν ζόην πεπόνθαμεν οἰκτρότερα. ἐν γὰρ οὕτω βραχέϊ βίῳ οὐδεὶς οὕτω ἄνθρωπος ἐὼν εὐδαίμων πέφυκε οὔτε τούτων οὔτε τῶν ἄλλων, τῷ οὐ παραστήσεται πολλάκις καὶ οὐκὶ ἅπαξ τεθνάναι βούλεσθαι μᾶλλον ἢ ζώειν. αἵ τε γὰρ συμφοραὶ προσπίπτουσαι καὶ αἱ νοῦσοι συνταράσσουσαι καὶ βραχὺν ἐόντα μακρὸν δοκέειν εἶναι ποιεῦσι τὸν βίον. οὕτω ὁ μὲν θάνατος μοχθηρῆς ἐούσης τῆς ζόης καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονε, ὁ δὲ θεὸς γλυκὺν γεύσας τὸν αἰῶνα φθονερὸς ἐν αὐτῷ εὑρίσκεται ἐών."

(a) Which **two** factors, in Artabanus's opinion, make life miserable? Give the exact Greek words with their English translation. [2]

(b) ὁ δὲ θεὸς … φθονερὸς ἐν αὐτῷ εὑρίσκεται ἐών (line 11). Explain the key points of this concept. [2]

(c) Analyse the contrast between happiness and misery through Herodotus's literary technique and his use of themes typical of Greek pessimism. Support your answer by quoting the Greek text. [8]

www.xtrapapers.com



**Genre: tragedy**

**Question 5. Euripides, *Hippolytus* 1084–1101**

ΘΕ. οὐχ ἕλξετ᾽ αὐτόν, δμῶες; οὐκ ἀκούετε
πάλαι ξενοῦσθαι τόνδε προυννέποντά με;
ΙΠ. κλαίων τις αὐτῶν ἆρ᾽ ἐμοῦ γε θίξεται·
σὺ δ᾽ αὐτός, εἴ σοι θυμός, ἐξώθει χθονός.
ΘΕ. δράσω τάδ᾽, εἰ μὴ τοῖς ἐμοῖς πείσῃ λόγοις·
οὐ γάρ τις οἶκτος σῆς μ᾽ ὑπέρχεται φυγῆς.
ΙΠ. ἄραρεν, ὡς ἔοικεν· ὢ τάλας ἐγώ·
ὡς οἶδα μὲν ταῦτ᾽, οἶδα δ᾽ οὐχ ὅπως φράσω.
ὦ φιλτάτη μοι δαιμόνων Λητοῦς κόρη,
σύνθακε, συγκύναγε, φευξούμεσθα δὴ
κλεινὰς Ἀθήνας. ἀλλὰ χαιρέτω πόλις
καὶ γαῖ᾽ Ἐρεχθέως· ὦ πέδον Τροζήνιον,
ὡς ἐγκαθηβᾶν πόλλ᾽ ἔχεις εὐδαίμονα,
χαῖρ᾽· ὕστατον γάρ σ᾽ εἰσορῶν προσφθέγγομαι.
ἴτ᾽ ὦ νέοι μοι τῆσδε γῆς ὁμήλικες,
προσείπαθ᾽ ἡμᾶς καὶ προπέμψατε χθονός·
ὡς οὔποτ᾽ ἄλλον ἄνδρα σωφρονέστερον
ὄψεσθε, κεἰ μὴ ταῦτ᾽ ἐμῷ δοκεῖ πατρί.

(a) δράσω … φυγῆς (lines 1088–1089). Explain the irony of Theseus's **two** assertions. [2]

(b) Write out and scan ἄραρεν … φράσω (lines 1090–1091). Indicate elisions where necessary. [2]

(c) ὦ πέδον Τροζήνιον (line 1095). Where is Trezene? Give **two** details about its significance for Theseus and his family. [3]

(d) Translate ἴτ᾽ ὦ νέοι … πατρί (lines 1098–1101). [3]

www.xtrapapers.com



**Genre: tragedy**

**Question 6. Euripides, *Hippolytus* 392–418**

ἐπεί μ᾽ ἔρως ἔτρωσεν, ἐσκόπουν ὅπως
κάλλιστ᾽ ἐνέγκαιμ᾽ αὐτόν. ἠρξάμην μὲν οὖν
ἐκ τοῦδε, σιγᾶν τήνδε καὶ κρύπτειν νόσον.
γλώσσῃ γὰρ οὐδὲν πιστόν, ἣ θυραῖα μὲν
φρονήματ᾽ ἀνδρῶν νουθετεῖν ἐπίσταται,
αὐτὴ δ᾽ ὑφ᾽ αὑτῆς πλεῖστα κέκτηται κακά.
τὸ δεύτερον δὲ τὴν ἄνοιαν εὖ φέρειν
τῷ σωφρονεῖν νικῶσα προυνοησάμην.
τρίτον δ᾽, ἐπειδὴ τοισίδ᾽ οὐκ ἐξήνυτον
Κύπριν κρατῆσαι, κατθανεῖν ἔδοξέ μοι,
κράτιστον — οὐδεὶς ἀντερεῖ — βουλευμάτων.
ἐμοὶ γὰρ εἴη μήτε λανθάνειν καλὰ
μήτ᾽ αἰσχρὰ δρώσῃ μάρτυρας πολλοὺς ἔχειν.
τὸ δ᾽ ἔργον ᾔδη τὴν νόσον τε δυσκλεᾶ,
γυνή τε πρὸς τοῖσδ᾽ οὖσ᾽ ἐγίγνωσκον καλῶς,
μίσημα πᾶσιν. ὡς ὄλοιτο παγκάκως
ἥτις πρὸς ἄνδρας ἤρξατ᾽ αἰσχύνειν λέχη
πρώτη θυραίους. ἐκ δὲ γενναίων δόμων
τόδ᾽ ἦρξε θηλείαισι γίγνεσθαι κακόν·
ὅταν γὰρ αἰσχρὰ τοῖσιν ἐσθλοῖσιν δοκῇ,
ἦ κάρτα δόξει τοῖς κακοῖς γ᾽ εἶναι καλά.
μισῶ δὲ καὶ τὰς σώφρονας μὲν ἐν λόγοις,
λάθρᾳ δὲ τόλμας οὐ καλὰς κεκτημένας·
αἳ πῶς ποτ᾽, ὦ δέσποινα ποντία Κύπρι,
βλέπουσιν ἐς πρόσωπα τῶν ξυνευνετῶν
οὐδὲ σκότον φρίσσουσι τὸν ξυνεργάτην
τέραμνά τ᾽ οἴκων μή ποτε φθογγὴν ἀφῇ;

(a) γυνή … κεκτημένας (lines 406–414). For what **two** types of women does Phaedra express criticism or hate? Support your answer by quoting the Greek text. [2]

(b) ποντία (line 415). Explain this attribute of the goddess, and how it relates to her other name: Aphrodite. [2]

(c) Analyse the extract, describing the way Euripides highlights the contrast between private and public dimensions in Phaedra's monologue. Support your answer by quoting the Greek text. [8]

www.xtrapapers.com



**Genre: comedy**

**Question 7. Aristophanes, *Clouds* 222–249**

ΣΤΡ. ὦ Σώκρατες,
ὦ Σωκρατίδιον.
ΣΩ. τί με καλεῖς ὦφήμερε;
ΣΤΡ. πρῶτον μὲν ὅ τι δρᾷς ἀντιβολῶ κάτειπέ μοι.
ΣΩ. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον.
ΣΤΡ. ἔπειτ᾽ ἀπὸ ταρροῦ τοὺς θεοὺς ὑπερφρονεῖς,
ἀλλ᾽ οὐκ ἀπὸ τῆς γῆς, εἴπερ;
ΣΩ. οὐ γὰρ ἄν ποτε
ἐξηῦρον ὀρθῶς τὰ μετέωρα πράγματα,
εἰ μὴ κρεμάσας τὸ νόημα καὶ τὴν φροντίδα
λεπτὴν καταμείξας ἐς τὸν ὅμοιον ἀέρα.
εἰ δ᾽ ὢν χαμαὶ τἄνω κάτωθεν ἐσκόπουν,
οὐκ ἄν ποθ᾽ ηὗρον· οὐ γὰρ ἀλλ᾽ ἡ γῆ βίᾳ
ἕλκει πρὸς αὑτὴν τὴν ἰκμάδα τῆς φροντίδος.
πάσχει δὲ ταὐτὸ τοῦτο καὶ τὰ κάρδαμα.
ΣΤΡ. τί φῄς;
ἡ φροντὶς ἕλκει τὴν ἰκμάδ᾽ ἐς τὰ κάρδαμα;
ἴθι νυν κατάβηθ᾽ ὦ Σωκρατίδιον ὡς ἐμέ,
ἵνα με διδάξῃς ὧνπερ οὕνεκ᾽ ἐλήλυθα.
ΣΩ. ἦλθες δὲ κατὰ τί;
ΣΤΡ. βουλόμενος μαθεῖν λέγειν.
ὑπὸ γὰρ τόκων χρήστων τε δυσκολωτάτων
ἄγομαι φέρομαι, τὰ χρήματ᾽ ἐνεχυράζομαι.
ΣΩ. πόθεν δ᾽ ὑπόχρεως σαυτὸν ἔλαθες γενόμενος;
ΣΤΡ. νόσος μ᾽ ἐπέτριψεν ἱππικὴ δεινὴ φαγεῖν.
ἀλλά με δίδαξον τὸν ἕτερον τοῖν σοῖν λόγοιν,
τὸν μηδὲν ἀποδιδόντα. μισθὸν δ᾽ ὅντιν᾽ ἂν
πράττῃ μ᾽ ὀμοῦμαί σοι καταθήσειν τοὺς θεούς.
ΣΩ. ποίους θεοὺς ὀμεῖ σύ; πρῶτον γὰρ θεοὶ
ἡμῖν νόμισμ᾽ οὐκ ἔστι.
ΣΤΡ. τῷ γὰρ ὄμνυτ᾽; ἢ
σιδαρέοισιν ὥσπερ ἐν Βυζαντίῳ;

(a) ἀεροβατῶ … εἴπερ (lines 225–227). How do these lines characterize Socrates in the context of the culture of his time? Give **three** details. [3]

(b) εἰ μὴ … ἀέρα (lines 229–230). Explain where Socrates is and give **one** reason why he is there. [2]

(c) οὐ γὰρ ἀλλ᾽ … κάρδαμα (lines 232–234). Highlight the elements that contribute to the ridiculous nature of the comparison. [2]

(d) Translate ἀλλά με δίδαξον … τοὺς θεούς (lines 244–246). [3]

www.xtrapapers.com



**Genre: comedy**

**Question 8. Aristophanes, *Clouds* 1009–1035**

ΔΙ. ἢν ταῦτα ποιῇς ἁγὼ φράζω,
καὶ πρὸς τούτοις προσέχῃς τὸν νοῦν,
ἕξεις ἀεὶ
στῆθος λιπαρόν, χροιὰν λαμπράν,
ὤμους μεγάλους, γλῶτταν βαιάν,
πυγὴν μεγάλην, πόσθην μικράν.
ἢν δ᾿ ἅπερ οἱ νῦν ἐπιτηδεύῃς,
πρῶτα μὲν ἕξεις
χροιὰν ὠχράν, ὤμους μικρούς,
στῆθος λεπτόν, γλῶτταν μεγάλην,
πυγὴν μικράν, κωλῆν μεγάλην,
ψήφισμα μακρόν, καί σ᾿ ἀναπείσει
τὸ μὲν αἰσχρὸν ἅπαν καλὸν ἡγεῖσθαι,
τὸ καλὸν δ᾿ αἰσχρόν·
καὶ πρὸς τούτοις τῆς Ἀντιμάχου
καταπυγοσύνης ἀναπλήσει.
ΧΟ. ὦ καλλίπυργον σοφίαν κλεινοτάτην ἐπασκῶν,
ὡς ἡδύ σου τοῖσι λόγοις σῶφρον ἔπεστιν ἄνθος.
†εὐδαίμονες δ᾿ ἦσαν ἄρ᾿ οἱ ζῶντες τότ᾿ ἐπὶ
τῶν προτέρων†· πρὸς τάδε σ᾿ ὦ κομψοπρεπῆ μοῦσαν ἔχων,
δεῖ σε λέγειν τι καινόν, ὡς ηὐδοκίμηκεν ἁνήρ.
δεινῶν δέ σοι βουλευμάτων ἔοικε δεῖν πρὸς αὐτόν,
εἴπερ τὸν ἄνδρ᾿ ὑπερβαλεῖ καὶ μὴ γέλωτ᾿ ὀφλήσεις.

(a) What is the technical name of the scene to which this extract belongs and what is the matter being discussed? [2]

(b) What is ψήφισμα (line 1019)? Give **one** way in which it becomes relevant later in the play. [2]

(c) Analyse how, through Aristophanes's literary art, the extract reflects the education proposed by the Just Argument. Support your answer by quoting the Greek text. [8]

www.xtrapapers.com



**Genre: philosophy**

**Question 9. Plato, *Apology* 19d–20b**

ἀλλὰ γὰρ οὔτε τούτων οὐδέν ἐστιν, οὐδέ γ᾽ εἴ τινος ἀκηκόατε ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώπους καὶ χρήματα πράττομαι, οὐδὲ τοῦτο ἀληθές. ἐπεὶ καὶ τοῦτό γέ μοι δοκεῖ καλὸν εἶναι, εἴ τις οἷός τ᾽ εἴη παιδεύειν ἀνθρώπους ὥσπερ Γοργίας τε ὁ Λεοντῖνος καὶ Πρόδικος ὁ Κεῖος καὶ Ἱππίας ὁ Ἠλεῖος. τούτων γὰρ ἕκαστος, ὦ ἄνδρες, οἷός τ᾽ ἐστὶν ἰὼν εἰς ἑκάστην τῶν πόλεων τοὺς νέους—οἷς ἔξεστι τῶν ἑαυτῶν πολιτῶν προῖκα συνεῖναι ᾧ ἂν βούλωνται—τούτους πείθουσι τὰς ἐκείνων συνουσίας ἀπολιπόντας σφίσιν συνεῖναι χρήματα διδόντας καὶ χάριν προσειδέναι. ἐπεὶ καὶ ἄλλος ἀνήρ ἐστι Πάριος ἐνθάδε σοφὸς ὃν ἐγὼ ᾐσθόμην ἐπιδημοῦντα· ἔτυχον γὰρ προσελθὼν ἀνδρὶ ὃς τετέλεκε χρήματα σοφισταῖς πλείω ἢ σύμπαντες οἱ ἄλλοι, Καλλίᾳ τῷ Ἱππονίκου· τοῦτον οὖν ἀνηρόμην—ἐστὸν γὰρ αὐτῷ δύο ὑεῖ— “ὦ Καλλία,” ἦν δ᾽ ἐγώ, “εἰ μέν σου τὼ ὑεῖ πώλω ἢ μόσχω ἐγενέσθην, εἴχομεν ἂν αὐτοῖν ἐπιστάτην λαβεῖν καὶ μισθώσασθαι ὃς ἔμελλεν αὐτὼ καλώ τε κἀγαθὼ ποιήσειν τὴν προσήκουσαν ἀρετήν, ἦν δ᾽ ἂν οὗτος ἢ τῶν ἱππικῶν τις ἢ τῶν γεωργικῶν· νῦν δ᾽ ἐπειδὴ ἀνθρώπω ἐστόν, τίνα αὐτοῖν ἐν νῷ ἔχεις ἐπιστάτην λαβεῖν; τίς τῆς τοιαύτης ἀρετῆς, τῆς ἀνθρωπίνης τε καὶ πολιτικῆς, ἐπιστήμων ἐστίν; οἶμαι γάρ σε ἐσκέφθαι διὰ τὴν τῶν ὑέων κτῆσιν.”

(a) Outline **two** of the charges Socrates is raising against the sophists in this extract. Support your answer by quoting the Greek text. [2]

(b) What do we learn about “the man from Paros” in this extract? Support your answer by quoting the Greek text. [2]

(c) Translate εἰ μέν σου τὼ ὑεῖ … ἀρετήν (lines 9–11). [3]

(d) ἔτυχον … κτῆσιν (lines 7–14). Identify **three** elements relevant for Socrates’s argument in the example of Callia and his sons. Quotation of the Greek text is **not** required. [3]

www.xtrapapers.com



**Genre: philosophy**

**Question 10. Plato, *Apology* 22c–23a**

τελευτῶν οὖν ἐπὶ τοὺς χειροτέχνας ᾖα· ἐμαυτῷ γὰρ συνῄδη οὐδὲν ἐπισταμένῳ ὡς ἔπος εἰπεῖν, τούτους δέ γ᾽ ᾔδη ὅτι εὑρήσοιμι πολλὰ καὶ καλὰ ἐπισταμένους. καὶ τούτου μὲν οὐκ ἐψεύσθην, ἀλλ᾽ ἠπίσταντο ἃ ἐγὼ οὐκ ἠπιστάμην καί μου ταύτῃ σοφώτεροι ἦσαν. ἀλλ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, ταὐτόν μοι ἔδοξαν ἔχειν ἁμάρτημα ὅπερ καὶ οἱ ποιηταὶ καὶ οἱ ἀγαθοὶ δημιουργοί—διὰ τὸ τὴν τέχνην καλῶς ἐξεργάζεσθαι ἕκαστος ἠξίου καὶ τἆλλα τὰ μέγιστα σοφώτατος εἶναι—καὶ αὐτῶν αὕτη ἡ πλημμέλεια ἐκείνην τὴν σοφίαν ἀποκρύπτειν· ὥστε με ἐμαυτὸν ἀνερωτᾶν ὑπὲρ τοῦ χρησμοῦ πότερα δεξαίμην ἂν οὕτως ὥσπερ ἔχω ἔχειν, μήτε τι σοφὸς ὢν τὴν ἐκείνων σοφίαν μήτε ἀμαθὴς τὴν ἀμαθίαν, ἢ ἀμφότερα ἃ ἐκεῖνοι ἔχουσιν ἔχειν. ἀπεκρινάμην οὖν ἐμαυτῷ καὶ τῷ χρησμῷ ὅτι μοι λυσιτελοῖ ὥσπερ ἔχω ἔχειν. ἐκ ταυτησὶ δὴ τῆς ἐξετάσεως, ὦ ἄνδρες Ἀθηναῖοι, πολλαὶ μὲν ἀπέχθειαί μοι γεγόνασι καὶ οἷαι χαλεπώταται καὶ βαρύταται, ὥστε πολλὰς διαβολὰς ἀπ᾽ αὐτῶν γεγονέναι, ὄνομα δὲ τοῦτο λέγεσθαι, σοφὸς εἶναι· οἴονται γάρ με ἑκάστοτε οἱ παρόντες ταῦτα αὐτὸν εἶναι σοφὸν ἃ ἂν ἄλλον ἐξελέγξω. τὸ δὲ κινδυνεύει, ὦ ἄνδρες, τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι, καὶ ἐν τῷ χρησμῷ τούτῳ τοῦτο λέγειν, ὅτι ἡ ἀνθρωπίνη σοφία ὀλίγου τινὸς ἀξία ἐστὶν καὶ οὐδενός.

(a) τελευτῶν … σοφώτατος εἶναι (lines 1–5). In what sense can Socrates say that "he did not know anything" while the hand-workers "knew many fine things"? [2]

(b) What **two** different notions of wisdom (σοφία) emerge from this extract? [2]

(c) Analyse this extract, describing how Plato's literary style supports his philosophical argument. Support your answer by quoting the Greek text. [8]